Ῥοδόπη

Ἰωάννου Καντακουζηνοῦ· Ἱστοριῶν. Βιβλίον Α΄. Κεφ. 27

Ὁ γὰρ Παλαιολόγος Ἀνδρόνικος ὁ μέγας στρατοπεδάρχης παρὰ βασιλέως τοῦ νέου τὴν κατὰ τὴν Ῥοδόπην ἐπαρχίαν Στενιμάχου καὶ Τζεπαίνης πόλεων καὶ τῶν ἄλλων φρουρίων σὺν ὀλίγοις ὅπλοις, καὶ τῆς ἐν αὐτοῖς στρατιᾶς πολλῆς τε καὶ μαχιμωτάτης οὔσης ἡγεμὼν ἀποσταλείς, τοὺς μὲν δώροις καὶ ὑποσχέσεσι πείσας, ἔστι δ' οὓς καὶ βιασάμενος, τῷ πρεσβυτέρῳ προσεποίησε βασιλεῖ.

Αὐτ. Βιβλ. Α΄. Κεφ. 30

Ὁ μέντοι τῆς κατὰ τὴν Ῥοδόπην ἐπαρχίας στρατηγὸς Παλαιολόγος ὁ μέγας στρατοπεδάρχης, τὰς ὑπ' αὐτὸν πάσας πόλεις καὶ τὴν στρατιάν, ὥσπερ ἔφημεν, ἀπὸ τοῦ νέου βασιλέως πρὸς τὸν πρεσβύτερον ἀποστήσας, πάντων μὲν ἴσχυσε καὶ τὰς γνώμας παραστήσασθαι, καὶ τῷ πρεσβυτέρῳ βασιλεῖ προσέχειν.

Ἕνα δὲ τῶν ἀπὸ τοῦ Δαλμικοῦ γένους νομάδα Συργιπάνον ὠνομασμένον, τῶν ὄντων ἀποστερήσας ὅτι τῷ νέῳ προσέκειτο βασιλεῖ, πολλὰς αἰτίας ὑποβαλών, δύο τε τῶν ὀδόντων ἐκριζώσας, καὶ τὴν παρειὰν καταναύσας σιδήρῳ, ὡς οὐκ ἴσχυσεν ἀποστῆσαι τοῦ νέου βασιλέως, καθείρξας εἶχεν ὑπὸ κλοιοῖς.
Οὗτος δὴ τοῦ δεσμωτηρίου τότε διαδράς, καὶ πολλοὺς ἑτέρους προσεταιρισάμενος νομάδας Σκύθας, καὶ τῇ παρὰ τοῦ νέου βασιλέως ἐνταυθοῖ πεμφθείσῃ τῷ Παλαιολόγῳ πολεμεῖν συμμίξας στρατιᾷ, ἐπέθετο τοῖς ἐν Ῥοδόπῃ.
Ὁρῶντες δὲ οἱ ἐν ταῖς πόλεσι τούς τε ἀγρότας ἐκπολεμωθέντας αὐτοῖς καὶ τὴν στρατιὰν ἐπικειμένην, καὶ δείσαντες μὴ καὶ τῶν ἔνδον ἀπόλωνται στασιασάντων, μεταβαλόντες προσέθεντο τῷ νέῳ βασιλεῖ. Καὶ δήσαντες τὸν στρατηγὸν εἶχον ἐν φρουρᾷ, ἄχρις ἂν ὁ βασιλεὺς πυθόμενος περὶ αὐτοῦ ψῆφον ἐνέγκῃ.
Αὐτοὶ δ' ἅμα Συργιπάνῳ ἧκον ὡς βασιλέα, οἱ μὲν ἀπολογούμενοι γέρα τῆς εἰς αὐτὸν εὐνοίας, ὅσοι δ' ἦσαν πρότερον τῷ πρεσβυτέρῳ προστεθειμένοι βασιλεῖ, ἐξαιτήσοντες συγγνώμην. Ὁ βασιλεὺς δὲ τῶν μὲν ἀφεστηκότων καθαψάμενος μετρίως ὡς ἀγνωμονούντων περὶ αὐτὸν ἐν

δράσαντα φανῆναι, παραγγείλας τε μὴ εὐχερῶς ἔτι πρὸς τὰς ἀποστασίας ϗ τὰς παραβάσεις τῶν ὅρκων εἶναι· αὐτός τε ἀμνηστείαν ὧν αὐτοῖς ἡμάρτηται εἰπών, ἠξίωσε συγγνώμης, μετὰ μικρὸν δὲ ϗ εὖ ποιήσας, οἴκαδε ἐπέταξεν ἀπιέναι. Τοὺς δὲ τῇ εἰς αὐτὸν ἐμμεμενηκότας πίστει ἐπαινέσας τε ἅμα καὶ δωρεαῖς ἀμειψάμενος ἀξίως, ἐξαπέστειλε μὲν αὐτούς, στρατηγὸν αὐτοῖς ἐπιστήσας τὸν Ταρχανειώτην δομέστικον, ᾧ ἐπιτέτραπτο τὸν μέγαν στρατοπεδάρχην δεσμώτην ὡς βασιλέα ἀποστεῖλαι.

Εἰς τὴν ὑστεραίαν δὲ ὁ Συρμπανος ἐπὶ τοῦ βασιλέως ἐρημώς, ἐδόκει βούλεσθαί τι πρὸς βασιλέα εἰπεῖν· συνεὶς δὲ ὁ βασιλεύς, εἴ τι βούλοιτο ἐκέλευε λέγειν.

Ὁ δ᾽ ἅμα τῷ προσταχθῆναι πρὸς τοὔδαφος ἑαυτὸν καταβαλών, συγγνώμης ᾔτει τυχεῖν, εἰ συβώτης ὢν ϗ βάρβαρος καὶ ἄγροικος, ἐτόλμησε φθέγξασθαί τι πρὸς βασιλέα.

Τοῦ βασιλέως δὲ προστάξαντος λέγειν θαρροῦντα μηδέν, ὑπὲρ τοῦ μεγάλου ἐδεῖτο στρατοπεδάρχου, ὥστε ϗ αὐτὸν ἐφ᾽ οἷς εἰς βασιλέα ἥμαρτε τοὺς κατὰ τὴν Ροδόπην ἀποστήσας τυχεῖν συγγνώμης. Τοῦ βασιλέως δὲ ἐρομένου εἰ πρὸς εἰρωνείαν ἢ πρὸς ἀλήθειαν τυχεῖν δεῖται· ὁ δ᾽ ἔφασκε, πρὸς ἀλήθειαν· ϗ ὅρκον προσετίθει πίστεως χάριν· δεῖν δ᾽ εἶναι, εἴ τι ϗ ἥμαρτε, προσήκοντα πρὸς γένους ἀξιῶσαι συγγνώμης. Ἐπιλέλησαι δ᾽, εἴρηκεν αὖθις ὁ βασιλεύς, ὅσα σε εἴργασται κακά, ἀποστερήσας μὲν τῶν ὄντων, ϗ παίδων ϗ γυναικός, ἔτι δὲ ϗ ἐλόντων αὐτῶν, πολλαῖς τε αἰκίαις καταξάνας τὸ σῶμα, ϗ τέλος ὥσπερ τινὰ τῶν ἐπὶ δυστάλοις ἑαλωκότων τὴν παρειὰν καταυκαύσας σιδήρῳ ὡς μηδὲ τὰς οὐλὰς ἐξαλειφθῆναι δύνασθαι; ὅμως δὲ τί σε τὸ πεῖσάν ἐστιν, ὑπὲρ ἐκείνου δεῖσθαι.

Τί δ᾽ ἂν εἴη μεῖζον, ἔφασκεν, ὦ βασιλεῦ, ἢ τὸν οὕτω χθὲς ϗ πρώην ἐν τοῖς δουλεύουσιν ἐκείνῳ τεταγμένον, νῦν εἰς τοσοῦτον ἥκειν περιφανείας, θεοῦ ϗ σοῦ, βασιλεῦ, εὐεργετηκότος, ὡς ϗ τοὺς βασιλεῖ προσήκοντας κατὰ γένος ἐξαιτεῖσθαι δύνασθαι, ϗ τῶν προσδοκωμένων ἀπαλλάττειν κακῶν;

ἀκολουθεῖ

Θαυμάσας δὲ ὁ βασιλεὺς τὴν ἐπὶ τοῖς κακοῖς ἀμνηστίαν τοῦ <u>βαρβάρου</u>,
εἰ σύ γε, ἔφη, τοσαῦτα ὑπ' αὐτοῦ ἀδικηθεὶς καὶ κακῶς παθὼν, <u>βάρβαρος</u> ὢν
καὶ φαῦλος τὴν τύχην, τοῖς ἐναντίοις ἀμείβῃ ὅσον ἔξεστι ποιῶν εὖ, οὐδ'
ἐμὲ δίκαιον μετριώτερα ἀδικηθέντα, βασιλέα τε ὄντα, ἀπαραίτητα
ὀφθῆναι πρὸς ὀργήν. Τοίνυν καὶ τῆς συγγενείας ἕνεκα τὰ ἡμαρ-
τημένα παρορῶ, ἀξιῶ συγγνώμης.
Εὐχαριστήσας δὲ ὁ <u>βάρβαρος</u> ἐπὶ τούτοις, καὶ πολλάκις ἐπευφημήσας
τὸν βασιλέα, καὶ δευτέραν δίκην προσετίθει, τὸ τὸν αὐτὸν μήτε τῆς
ἀξίας ἀποστερηθῆναι μήτε τῶν προσόδων καὶ τῶν δωρεῶν τῶν βασιλικῶν.
Ἔτι δὲ μᾶλλον τὴν ὑπὲρ τοῦ ἠδικηκότος σπουδὴν θαυμάσας ὁ βασιλεὺς
καὶ ταύτην τὴν δίκην ἐπλήρου.
Καὶ <u>ἔτι δὲ αὐτοῦ πρὸς τοὺς πόδας βασιλέως κειμένου, τὰ τῆς συγγνώμης γράμμα-
τα διαχαραχθέντα, καὶ τῇ βασιλικῇ πιστωθέντα χειρὶ ἐπεδόθησαν αὐτῷ· ὁ δὲ
λαβὼν, καὶ τὴν γῆν κατασπασάμενος ἐφ' ᾗ ὁ βασιλεὺς εἱστήκει, χαίρων ἀπῄλθε.</u>

Ἔτι δὲ τῶν πρὸς ἀλλήλους τῶν βασιλέων συνεστῶτος πολέμου, | Αὐ. Βιβλ. Α'. κφ. 35 |
ὅτε καὶ Παλαιολόγος Ἀνδρόνικος ~~τὴν~~ <u>κατὰ τὴν Ῥοδόπην</u> τοῖς <u>Ῥωμαίοις ὑπηκόων</u>
ἀρχὴν <u>ἐπαρχιῶν</u> ἀπέστησε τοῦ νέου πρὸς τὸν πρεσβύτερον βασιλέα, ὁ Τερτερῆς
[ὁ τῶν Μυσῶν βασιλεὺς] ~~ταῖς~~ <u>πόλεσιν ἐκείναις ἐπιστρατεύσας</u>, τὰς μὲν ἄλλας
ἐδῄωσε· <u>Φιλιππούπολιν</u> δὲ εἷλε, μεγάλην τε καὶ πολυάνθρωπον οὖσαν, καὶ πεζῶν καὶ
ἱππικῶν στρατευμάτων ἐρρωμένην, καὶ ἐν ἐπικαίρῳ μάλιστα χωρίον κειμένην
ὡς αὐτάρκην εἶναι καὶ πρὸς πόλεμον καὶ εἰρήνην τῶν ἄλλων μάλιστα ὑπερω-
τίδων

Βασιλεὺς δὲ ὁ νέος ἅμα καὶ τοῦ πάππου καὶ βασιλέως ἐπιτετραφότος | Αὐ. Βιβλ. Α'. κφ. 36 |
τὴν ἐν Βυζαντίῳ καὶ τὴν <u>Θρακικὴν στρατιὰν</u> ἀθροίσας, εἰς <u>Φιλιππούπολιν</u>
ὡς ἐκπολιορκήσων ᾔει. Οὐδὲν δὲ ὑπὸ ἀξιομάχου στρατιᾶς ἤνυσεν οὐδὲν, ἀλ-
λὰ κακοπαθῶν. - - - - ~~Ἐδόκει δὲ τὴν πολιορκίαν Φιλιπποπόλεως καταλι-
πεῖν~~. - - - -

ἀκολουθεῖ

Οἱ τῶν Μυσῶν δυνατοὶ τοῦ βασιλεύσαντος αὐτῶν Τερτερῆ ἀδιαδόχου [Αὐτόθι] ἀποθανόντος, τὸν τῆς Βιδύνης ἄρχοντα Μιχαὴλ τοῦ παρ' αὐτοῖς δεσπότου τοῦ Στρατζιμήρου υἱὸν ἐν Μυσῶν καὶ Κομάνων τὰς τοῦ γένους ἥκοντα σειρὰς προσκαλεσάμενοι ἀπέδειξαν βασιλέα ἑαυτῶν.

Ὁ δὲ τήν τε ἰδίαν στρατιὰν συναγαγὼν καὶ ἐξ Ὀγκροβλάχων (sic) κατὰ συμμαχίαν οὐκ ὀλίγην, ἔτι δὲ καὶ Σκυθικὴν παραλαβὼν, βασιλεῖ καὶ τῷ Ῥωμαίων Φιλιππούπολιν πολιορκοῦντι ἐπικουρεῖν οὐκ ἔγνω δεῖν. Ἤδη γὰρ ἀξιόμαχος οὐκ ἦν. Κατὰ δὲ τὴν μετὰ τὴν Τερτερῆ τελευτὴν τοῖς Ῥωμαίοις προσθεμένων πόλεων ἐχώρει ἐν τοῖς δρυμοῖς κειμένων ἀσφάλειαν παρέχουσι τοῖς συστρατευομένοις αὐτῷ Σκύθαις καὶ τοῖς ἄλλοις συμμάχοις οὖσι λοχῶσαι, καὶ καθήμενος ἐδῄου τὴν γῆν καὶ τὰς πόλεις ἐπολιόρκει. Ὡς δὲ ἠγγέλθη ταῦτα τῷ βασιλεῖ, ἔδοξεν τὴν μὲν πολιορκίαν Φιλιππουπόλεως καταλιπεῖν. Κατὰ δὲ Μιχαὴλ ὡς αὐτῷ μαχεσόμενος χωρεῖν....

Βασιλεὺς δὲ, Στενιμάχου καὶ Τζεπαίνης Βρυέννιον τὸν Γεώργιον στρατηγὸν καταστήσας, στρατιάν τε ἀρκοῦσαν πρὸς φυλακὴν καταλιπὼν ὥστε μὴ κακῶς ὑπὸ τῶν Φιλιππουπολιτῶν ὑπομένειν τὴν χώραν πάσχειν, αὐτὸς ἄρας παντὶ τῷ στρατεύματι ἦλθεν εἰς Πολόβιαν.... [Αὐ. Βιβλ. Γ'. κεφ. 26]

Οὐ μὴν, ἀλλὰ καὶ ὅσοι Μόραν κατῴκουν, καὶ τῆς Ῥοδόπης ὅσαι πόλεις ἦσαν ὑπήκοοι Ῥωμαίοις, στρατιῶται πολλοὶ καὶ ἀγαθοὶ κατὰ τὴν Χαλκιδικὴν τῆς Θρᾴκης ἐστρατοπεδευμένοι περιέμενον τὴν ἄφιξιν, ἐκείνου (τοῦ Καντακουζηνοῦ)....

Ἔτι δὲ ἐν Ῥοδόπῃ ἑτέρας οὔσης ἐπαρχίας Ῥωμαίοις ὑπηκόου [Αὐ. Βιβλ. Γ'. κεφ. 66] Στενιμάχου καὶ Τζεπαίνης προσαγορευομένης, αἳ ἦσαν ἱππεῦσι χιλίων οὐκ ἐλάσσους μαχιμώτατοι, καὶ πλῆθος πεζῶν, ἔδοξεν δεῖν στρατεύειν ἐπ' αὐτοὺς καὶ ἄραντες ἐκ Διδυμοτείχου, ἦλθον ἄχρι Μόρρας......

Βασιλίδι δὲ τῇ Ἄννῃ ἔδοξεν δεῖν πρὸς Ἀλέξανδρον πρεσβείαν ποιεῖσθαι τὸν Μυσῶν βασιλέα, ὥστε συμμαχεῖν αὐτοῖς ἐπὶ Καντακουζηνὸν τὸν βασιλέα. Ὁ δὲ ὑπέσχετο, ἂν μισθὸν αὐτῷ παρέχωσι τῆς συμμαχίας τὰς κατὰ Στενίμαχον καὶ Τζέπαιναν πόλεις καὶ κλήρους καὶ ἐλάττους, καὶ τὴν ταύταις ἐγκαθιδρυμένην στρατιάν.

Ἦσαν δὲ ἐννέα, ἡ Τζέπαινα, καὶ ὁ Κρυτζιμὸς, ἡ Περιστίτζα, ἡ ἁγία Ἰουστῖνα, ἡ Φιλιππούπολις, πόλις θαυμασία καὶ μεγάλη, ὁ Στενίμαχος, ὁ Ἀετὸς, ὁ Μπράδνος, ὁ Κόσνικος.

Στρατιὰ δὲ πρότερον μὲν ὑπὲρ τοὺς πεντακοσίους καὶ χιλίους ἦσαν· τότε

ἀκολουθεῖ

δὲ ὑπὸ τοῦ Ῥωμαϊκοῦ πολέμου κἀκείνων διεφθαρμένων, ὀλίγῳ πλείους χιλίων ἦσαν, πάντες μαχιμώτατοι, καὶ οὐδένων ἄλλων τῶν παρὰ Ῥωμαίοις στρατευομένων λειπόμενοι εἰς τὴν εὐψυχίαν.
Οἱ δὲ, ὡς ἐπύθοντο τὴν ἀξίωσιν Ἀλεξάνδρου, παρείχοντο προθυμότατα τὰς πόλεις, δείσαντες, ὡς ἔοικε, μὴ Καντακουζηνῷ τῷ βασιλεῖ κἀκείνων προσθεμένων, πολεμίους ἔχωσιν ἀντὶ συμμάχων καὶ ὑπηκόων· καὶ ὡς ἐν συγκρίσει προτιμήσαντες Ἀλέξανδρον μᾶλλον ἔχειν σύμμαχον ἐσόμενον, ἢ τὸν πολεμοῦντα Καντακουζηνὸν τὸν βασιλέα.-----

Καὶ βασιλεὺς ὁ Καντακουζηνὸς τὰς ἀποστάσας ἐπανῄει πόλεις, | Αὐ. Βιβ. Δ΄. Κεφ. 34 |
μάλιστα δὲ Μόρραν καὶ τὰς ἄλλας τὰς κατὰ τὴν Ῥοδόπην Ῥωμαίοις ὑπηκόους· αἱ πλείους γὰρ τῷ νέῳ προσεχώρουν βασιλεῖ.
Ἔπειτα καὶ πρὸς τὴν Χαλκιδικὴν πέμψας στρατιάν, ἐκέλευε καταтρέχειν. αὐτὸς μὲν οὐ βουλόμενος κακοῦν, οὐ γὰρ ἠξίου τοὺς ὑπ' αὐτοῦ πρὸς βασιλέα τὸν νέον παραδεδομένους ἑκόντας κατατρίβειν, ὡς ἠγνωμονηκότας, ἀλλ' οἱ ἐν Μόρρᾳ τοῦτο μὲν διὰ τὸν πόλεμον ὅμορον αὐτοῖς ὄντα, τοῦτο δ' ὅτι καὶ ἡ Χαλκιδέων βοσκήμασι διαχειμάζειν μᾶλλον ἐπιτηδειοτέρα, διά τε τὴν ἀλέαν, καὶ τὸ τροφὴν παρέχειν ἄφθονον, βοσκήματα ἐκεῖ πολλὰ καταγαγόντες, ἠνάγκασαν βασιλέα πέμπειν ἐπ' ἐκείνους στρατιάν, οἳ καὶ καταδραμόντες, πρὸς τοῖς ξένοις, ἐκάκωσαν καὶ τοὺς ἐγχωρίους οὐκ ὀλίγα.